Ακαδημία Αθηνών / Academy of Athens

νης 2.4 *γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ* **2** (ἀντιδιαστ. *οὐρανός*). Ἡ Γῆ, Earth, Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον* 31 *ἠέλιος θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων* Παρμενίδης 11.1 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη* 14 *νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς* Ἐμπεδοκλῆς 39.1 *εἴπερ ἀπείρονα γῆς τε βάθη* 42.2 *ἀπεσκνίφωσε δὲ γαίης* 45 *κυκλοτερὲς περὶ γαῖαν ἐλίσσεται ἀλλότριον φῶς* 48 *νύκτα δὲ γαῖα τίθησιν ὑφισταμένη φαέεσσι* 115.10 *γαῖα δ' ἐς αὐγὰς ἠελίου φαέθοντος* Πυθαγόρειοι A 37 (DK I 462,8) *ἀντίχθονα δὲ τὴν σελήνην ... καὶ αἰθερίαν γῆν* Ἀναξαγόρας 15.2 *τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε συνεχώρησεν, ἔνθα νῦν <ἡ γῆ>, τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν ἐξεχώρησεν εἰς τὸ πρόσω τοῦ αἰθέρος* **3** (ἀντιδιαστ. *θάλασσα, πόντος*). Ἡ στεριά, land, Ἡράκλειτος 31 *πυρὸς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ ... <γῆ> θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ* Ἐμπεδοκλῆς 38.3 *γαῖά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ* 55 *γῆς ἱδρῶτα θάλασσαν* 111.3 *ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι* Ἀναξαγόρας 4.8 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα* Διογένης 2.10 *οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον* **4.** Περιοχὴ τῆς γῆς/χώρα, region of earth/country, Ξενοφάνης 8.2 *ἀν' Ἑλλάδα γῆν* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατὴ* **5.** Χῶμα, earth, Ἡράκλειτος 22 *χρυσὸν οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον* Ἀναξαγόρας 4.17 *γῆς πολλῆς ἐνεούσης.*

**Γηθοσύνη.** Χαρὰ/Τέρψη (προσωποπ.), Joy/Delight (personif.), Ἐμπεδοκλῆς 17.24 *Γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην.* Πρβλ. *Ἀφροδίτη, Φιλότης.*

**γηραιός** (ἀντίθ. *νέος*). Γερασμένος, old, Ἡράκλειτος 88.3 *καὶ νέον καὶ γηραιόν.* Πρβλ. *γέρων, γηραλέος, παλαιός.*

**γηραλέος.** Ἡλικιωμένος/γέρος, elderly/old, Ξενοφάνης 1.18 *οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος.* Πρβλ. *γηραιός, γέρων.*

**γῆρας** (ἀντίθ. *νεότης*). Γήρας/γηρατειά, old age, Ἐμπεδοκλῆς



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ